Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tme-ae

*Ὤριον ὁ Θηβαῖος* · Orion of Thebes

# Etymological Work

*Ἐτυμολογικὸν Ἔργον*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

1 Ἀγαθόν : δὲ λέγεται παρὰ τὸ ἄγαν θεῖν· ἤγουν ἐφ’ ᾧ ἄγαν θέομεν ἤτοι ἐφιέμεθα. Ἀγλαά : παρὰ τὴν αἴγλην, ἐφ’ οἷς τις ἀγάλλεται καὶ λαμπρύνεται.

3 Ἄγγελος : εἴρηται παρὰ τὸ εἰς ἀγγελίαν πέμπεσθαι ἐκ θεοῦ ἐπὶ γῆς ἢ ἐξ οὐρανοῦ πρὸς ἄνθρωπον· διὰ τοῦτο καὶ εὐαγγελιστὴς εἴρηται διὰ τὸ εὖ ἀγγέλλειν ἡμῖν, ἤγουν καλόν· τὸ γὰρ εὖ καλόν ἐστιν. Ἄνθρωπος : λέγεται διὰ τὸ ἄνω θρεῖν ἤγουν ὁρᾶν ἢ πάλιν τὸ ἀνορθροΐ περιπατεῖν.

5 Ἀνάστασις : ἀνα–στάσις ἤγουν πάλιν ἀνάστασις. Ἀνάγνωσις : πάλιν γνῶσις· τὸ ἀνά πάλιν ἐστίν.

7 Ἀναγραφή : πάλιν γραφή. Ἄσκησις : διὰ τὸ ὡς ἀσκὸν νεκροῦσθαι τὸν ἀσκητήν· ὅρος δὲ αὐτῆς ὁ πόνος τῆς μαθήσεως.

9 Ἀσθένεια : παρὰ τὸ μὴ ἔχειν δύναμιν. Ἀσωτία : τὸ μὴ ὂν εἰς σωτηρίαν· σωτὴρ γὰρ τὸ σῶον τηρεῖν.

11 Ἀταξία : τὸ μὴ ὂν ἐν τάξει καλῇ. Αἰγιαλός : ὁ ἐγγὺς τῆς ἁλός, ἤγουν τῆς θαλάσσης.

13 Ἄκαιρον : τὸ παράκαιρον. Ἀναβίωσις : διὰ τὸ ἄνω βάσις, ἤγουν πάτησις.

15 Ἀμφίβληστρον : διὰ τὸ ἀμφιβάλλεσθαι. Ἄρχων : ὁ ἄρα ἔχων, πάντως ἔχων.

17 Ἀρτοκόπος : διὰ τὸν τοῦ ἄρτου κόπον. Ἀνεξικακία : διὰ τὸ ἀνέχεσθαι τὴν κακίαν.

19 Ἀρετή : λέγεται παρὰ τὸ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γινόμενον ... ἢ ἀρετὴ ἐκ τοῦ ἀρέσκεσθαι. Ἀκεστόν : ἐστι τὸ ἰάσιμον παρὰ τὸ ἀκέσασθαι καὶ ἀνήκεσθαι τὸν ἀθεράπευτον.

21 Ἄχος : ἀπὸ τοῦ μὴ διαχεῖσθαι· ὅθεν καὶ τὸ χαίρειν παρὰ τὸ διαχεῖσθαι. Ἄλογον : διὰ τὸ ἄμοιρον 〈εἶναι〉 τοῦ λόγου.

23 Ἀμάραντον : παρὰ τὸ ἀμαρεῖν, ὅτι οὐκ ἐᾷ τὰ παραπεφυκότα αὐτῇ μαραίνεσθαι. Ἄρουρα : παρὰ τὸ ἀραιοῦσθαι αὐτὴν γεωργουμένην· κυρίως δὲ ἡ πρὸς σπορὰν καὶ ἄροσιν ἐπιτηδεία.

25 Ἀγέρωχος : ὁ ἄγαν αὐχῶν. Αἰπόλος : παρὰ τὸ αἰγοπόλος, ἤγουν 〈ὁ〉 αἶγας βόσκων.

26 ἢ ὁ περὶ τὰ αἴπη εἱλούμενος, ὅ ἐστιν ὄρη. Ἄκριτον : τὸ ἀδιαχώριστον.

28 Ἄνηθον : διὰ τὸ ἄνω θεῖν. ἢ διὰ τὴν ἐν τάχει αὔξησιν. Ἀτέχνως : ἀδόλως· δόλος γὰρ ἡ τέχνη.

30 Ἀρνεῖσθαι : διὰ τὸ αἴρεσθαι τὰς χεῖρας ἐπὶ παραιτήσει. Ἀράχνη : παρὰ τὸ ἀναρριχᾶσθαι εἴρηται.

31 ἢ παρὰ τὴν ἀραιότητα. Ἀμᾶν : ἠμᾶσθαι· ἐπὶ τοῦ θερίζειν.

32 παρὰ τοῦ ὁμοῦ ἐπισπᾶν. Ἀκτή : παρὰ τὸ κατεαγνῦσθαι τὰ κύματα.

34 Ἁγνεία : παρὰ τὸ ἀγωνιᾶν εἰς τὸ καθαρεύειν. Ἄμπελος : παρὰ τὸ ἄνω πελάζειν.

36 Ἀραί : παρὰ τὸ αἴρειν. κακῶς. Ἀλύειν : παρὰ τὸ ἀπορεῖν καὶ ἐν πλάνῃ ἔχειν τὴν ψυχήν.

38 Ἀχλύς : ἡ ἄγαν εἰλύουσα καὶ ἀποκρύπτουσα. Ἄνεμοι : ἄμενοί τινες ὄντες, κατὰ μετάθεσιν στοιχείου, ὡς ἂν εἰ οὐκ ἠρεμοῦντες, ἢ ὡς οὐδὲν τὸ αὐτὸ μένοντες.

40 Ἀγρός : παρὰ τὴν ἄγραν. Ἄνεμος : διὰ τὸ ἀναμένειν καὶ πάλιν φυσᾶν.

42 Ἀήρ : διὰ τὸ ἀείρειν, ὅ ἐστι κουφίζειν. Ἀστήρ : διὰ τὸ ἄστατον ἔχειν τὸν δρόμον.

44 Ἀηδών : διὰ τὸ ἀεὶ ᾄδειν. Ἄκανθα : διὰ τὸ αἰκίζειν ἤγουν πλήττειν.

46 Ἀστραπή : διὰ τὸ ἀστάτως καὶ ῥᾷον παύεσθαι. Αἰπόλος : ὁ ἐπὶ τὰ αἴπη πολούμενος, ἅ ἐστιν ὄρη· οἷον αἰποπόλος.

47 ἢ ὁ περὶ τὰς αἶγας ἀναστρεφόμενος· οἷον αἰγοπόλος, συμπεριλαμβανομένων ἔξωθεν καὶ τῶν προβάτων. Ἄρρωστος : παρὰ τὸ μὴ ἔχειν ῥῶσιν.

49 Ἀσθενής : παρὰ τὸ μὴ ἔχειν σθένος. Βίος : λέγεται διὰ τὴν βίαν.

50 διὰ τοῦτο καὶ βέλος διὰ τὸ βίᾳ βάλλεσθαι. Βίβλος : διὰ τὸ τοὺς βίους βάλλεσθαι ἐν αὐτῇ .

51 .. ἢ διὰ τὸ βαβαί ἢ διὰ τὸ βέβαιον. Βωμός : διὰ τὸ βαίνειν τὸ αἷμα ἐν αὐτῷ.

53 Βροχή : διὰ τὸ βραχέως θεῖσθαι καὶ χέεσθαι. Βοτάνη : διὰ τὸ βιαίως τείνεσθαι, ἤγουν αὔξειν.

55 Βάπτισμα : λέγεται διὰ τὰ τοῦ βίου πταίσματα. Βαΐν : διὰ τὸ βίᾳ τίλλεσθαι.

57 Βουνός : διὰ τὸ βαίνειν τὴν ἄνω. Βορρᾶς : ἴσως διὰ τὸ βίᾳ ῥεῖν καὶ ῥάσσεσθαι.

59 Βροντή : ὡς οὖσα βαρεῖα τῇ φωνῇ. Βοῦς : διὰ τὸ βίαιον τῆς δυνάμεως.

61 Βόλος : ὅτι βαλλόμενος λύεται. Βώρδων : παρὰ τὸ τὰ βαρέα 〈δονεῖν〉 δύνασθαι.

63 Γάμος : διὰ τὸ τὴν γῆν ἅμα γίνεσθαι. Γῆν : διὰ τὸ γένος τῶν ἀνθρώπων ἐξ αὐτῆς εἶναι.

65 Γραφεῖον : διὰ τὸ ἐπὶ γραφῇ ὄν. Γηροκομεῖον : διὰ τὸ τοὺς γέροντας μένειν.

67 Δημοσθένης : διὰ τὸ εἶναι τοῦ δήμου σθένος ἤγουν δύναμις. Δημιουργός : ὁ δειμάμενος τὰ ἔργα, ἤγουν ποιῶν.

69 Δάκρυον : ὡς ἐπίπαν τὸ ἐκ δέους ἢ δέοντος ἐκκρινόμενον. Δειλία : ἐκ τοῦ δέους λίαν.

71 Δίκαιός : ἐστιν [ὁ] ἐκ τοῦ τὸ δίκαιον ἀγαπᾶν. Δημοκράτης : ὁ τὸν δῆμον κρατῶν.

73 Δικανικός : διὰ τὸ τὰς δίκας νικᾶν. Δαπάνη : τοῦ δέοντος πενία ἤγουν ἐλάττωσις.

75 Δράκων : διὰ τὸ δράσσασθαι. κακῶς. Διδάσκαλός : ἐστιν ὁ διδοὺς τὸ καλόν.

77 Δένδρον : διὰ τὸ δεόντως ἱδρῦσθαι. Δόλος : ἐστὶ διὰ τὸ δελεάζειν.

79 Ἐκκλησία : διὰ τὸ ἐκλελεγμένον εἰς ἕν. Ἐπιτίμιον : τὸ ἐπὶ τιμῇ ὑπάρχον.

81 Εὖρος : διὰ τὸ πλατύ· εὖρος γὰρ πλάτος. Ἐξόδιον : διὰ τὸ ἔξω ὂν βίου.

83 Ἔρημος : διὰ τὸ ἠρεμεῖν ἤγουν ἡσυχάζειν. Εὐκτήριον : διὰ τὸ 〈εὖ, ἤγουν〉 τὸ καλόν, τηρεῖν.

85 Εὐχή : διὰ τὸ εὖ, ἤγουν καλόν, ἔχειν. Ἐνύπνιον : διὰ τὸ ἐν ὕπνῳ καὶ μόνον.

87 Ἑσπέρα : ὁ τῆς ἑῴας, ἤγουν τῆς πρωΐας, πέρας. Ζωγράφος : ὅτι ζῷα μιμούμενος γράφει.

89 Ζῶον : διὰ τὸ ἐκ ζωῆς ὄν. Ἥλιος : διὰ τὸ εἰλεῖσθαι τῷ δρόμῳ.

90 ἢ διὰ τὸ ἵεσθαι, ἤγουν φέρεσθαι, λίαν. Θυσιαστήριον : διὰ τὸ τὰς θυσίας τηρεῖν.

92 Θυμιατήριον : διὰ τὸ τὸ θυμίαμα τηρεῖν. Ἰατρεῖον : διὰ τὸ τὴν ἴασιν τηρεῖν.

94 Ἱέραξ : διὰ τὸ ἵεσθαι, ἤγουν φέρεσθαι, τῷ ἀέρι ῥᾳδίως. Ἱερεύς : ἐπειδὴ ἵεται ῥᾷον τὸ εὖ, ἤγουν φέρει εὐχερῶς, τὸ καλόν.

96 Κόσμος : διὰ τὸ κεῖσθαι ἅμα. Κανδῆλα : διὰ τὸ δῆλον ποιεῖν καὶ φαίνειν.

98 Κοινωνία : διὰ τὸ ἑνίζεσθαι καὶ ἀλλήλοις, ἤγουν ἓν εἶναι. Καλαμάριν : διὰ τὸ τοὺς καλάμους αἴρειν.

100 Κόπρος : τοῦ κόπου ῥύσις. ἢ ῥεῦσις. Κόμη : διὰ τὸ κομᾶν, ἤγουν θάλλειν, τὴν τρίχα.

101 τὸ κο μικρόν. Κάπηλος : πηλὸν τὸν οἶνον λέγουσιν Ἴωνες τὸν πάλλοντα καὶ βλάπτοντα τὰς φρένας.

103 Κτῆνος : διὰ τὸ κτένεσθαι ἤγουν σφάζεσθαι. Κύων : εἰς τὸ κράζειν ὤν.

105 Κάμηλος : διὰ τὸ κάμνειν μέλη. Κιναιδός : ὁ κινῶν ἑαυτῷ ἡδονήν.

107 Κείναιδος : ὁ κενὸς αἰδοῦς. τὸ κει καὶ τὸ ναι δίφθογγος. Κώλυσις : διὰ τὸ κωλύειν τὸν σκοπὸν τοῦ καλοῦ.

109 Κληρονόμος : ὁ τὸν κλῆρον νεμόμενος. Κάλλος : διὰ τὸ πρὸς αὐτὸ καλεῖν.

111 Κόριδα : διὰ τὸ κόρον ἐμποιεῖν τῇ ἰδέᾳ. Κῆπος : διὰ τὸ κεῖσθαι καὶ πίνειν.

113 Καρπός : τὸ καίριον παντὸς πράγματος. ἢ 〈ὁ〉 καιροῦ παντὸς ἴδιος καρπός. Κλάδος : καλὸν λίαν εἶδος.

115 Κόραξ : διὰ τὸ τοῖς κοινοῖς κράξαι. Κλίμακα : διὰ τὸ καλεῖν εἰς μῆκος.

117 Κάμηλος : κατὰ συγγένειαν τοῦ ρ πρὸς τὸ λ κάμηρός τις ἀπὸ τοῦ τοὺς μήρους κάμπτειν ἐν τῷ καθέζεσθαι· οὕτως Ἡράκλειτος. Λαιμός : παρὰ τὸ λάειν, ὅ ἐστιν ἀπολαύειν.

119 Λοίδωρος : διὰ τὸ λύειν τὸ δῶρον τῆς ἀγάπης. Λιμήν : διὰ τὸ λίαν μένειν καὶ ἀχειμάστως.

121 Λύκος : λίαν κακός. Λίθος : λίαν θέσις.

123 Λύχνος : διὰ τὸ λύειν τὸ νύχος ἢ τὸν ὄγνον, ἤγουν τὸ σκότος. Λογοθέτης : ὁ τοὺς λόγους ἀποτίθων.

125 Λουτρόν : διὰ τὸ λύειν τὸν ῥῦπον. Λάχανον : διὰ τὸ λίαν χεύειν, ἤγουν ἐξανοικτόν, τοῖς φύλλοις.

127 Μήνη : ἡ σελήνη, ἀπὸ τοῦ μὴ μένειν ἐν ταὐτῷ, ἀλλὰ ποτὲ μὲν μειοῦσθαι, ποτὲ δὲ αὐξάνεσθαι. Μωρός : διὰ τὸ μὴ ὁρᾶν τὸ συμφέρον.

129 Μοναχός : διὰ τὸ μόνος θεῷ προσευχόμενος. ἢ ὁ μόνος ἔχων τὸ πάντων αἴτιον, ἤτοι καλόν. Μήνιγγες : παρὰ τὸ μένειν ἐν αὐτοῖς τὸν ἐγκέφαλον.

131 Μύσταξ : ἐν ᾧ οἱ μυκτῆρες στάζουσιν. Μονογενής : ὁ μόνος τῷ γένει ὤν.

133 Μελέτη : διὰ τὸ μέλλον, ἤτοι τὰ μέλλοντα, μεριμνᾶν. Μάχαιρα : διὰ τὸ μάχεσθαι ῥᾷον.

134 ἢ διὰ τὸ μάχεσθαι πάσῃ φύσει καὶ τόπον ἐμποιῶν βίᾳ. Μυστήριον : κατὰ τὸ μύειν κατ’ αἴσθησιν νοῦ καὶ τηρεῖν τὸ νοούμενον· κατὰ δὲ Ὦρον ἡ ἀδιαίρετος γνῶσις τῶν παρὰ πολλοῖς ἀγνοουμένων.

136 Μάρμαρον : λέγεται διὰ τὸ μαίρω. Μάχαιρα : διὰ τὸ χαίρειν τοῖς αἵμασι.

138 Μάρμαρον : λέγεται διὰ τὸ μαίρω. ἢ διὰ τὸ μαρμαίρειν ἤτοι στίλβειν. Μηρός : παρὰ τὸ μερίζω, ἔνθα μεμέρισται τὸ σῶμα.

139 ὡς Ἡρῳδιανός. Μήδεα : τὰ αἰδοῖα παρὰ τὸ μέδειν τῆς γενέσεως.

140 καὶ μέζεα. Μαλακός : ὁ μάλα, ἤγουν καλός, πάνυ.

142 Μέλαν : διὰ τὸ μὴ λάμπειν. Μηλωτή : δορὰ προβάτου· μῆλα γὰρ παρὰ τοῖς σοφοῖς τὰ πρόβατα λέγεται.

144

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μάρτυς : παρὰ τὸ μαίρω τὸ σημαῖνον τὸ λαμπρύνω· μάρτυς γὰρ ὁ τὰ ἀφανῆ λέγων καὶ λαμπρύνων· ἐκ τούτου γίνεται καὶ μάρμαρον. Νήπιος : ἤπιος γὰρ ὁ πρᾶος.

145 ἢ νηέπιος ὁ λέγειν μὴ δυνάμενος. Νεφέλη : διὰ τὸ τὰ νάματα ἀφελεῖν ἐκ τῆς θαλάσσης.

146 ἢ ταῦτα φέρειν. Νεωκόρος : ὁ τοῦ ναοῦ παῖς· ἤγουν 〈ἀπὸ τοῦ〉 κορεῖν κοσμεῖν 〈τὸ〉 κοῦρος.

148 Νερόν : διὰ τὸ νεωστὶ ἀεὶ ῥέειν. Νᾶμα : διὰ τὸ νομὰς ἔχειν ἅμα εἰκός.

150 Νυμφίος : διὰ τὸ νῦν ἠμφιᾶσθαι καλῶς. Νόμισμα : διὰ τὸ νομίζεσθαί τι μηδὲν ὄν.

152 Νοτάριος : ἢ διὰ τὸ νότα, ῥωμαϊστί, ἢ ὁ τὰ νοήματα τηρῶν. Νείφω : νέφος γὰρ καὶ νένοφεν, ὁ μέσος παρακείμενος παρὰ Ἀριστοφάνει [fr.

153 46 kock], καὶ τὸ νεφέλη διδάσκει. Ἀπολλώνιος δὲ ὁ τοῦ Ἀρχιβίου καὶ τὸ νείφω κατὰ τροπὴν ἔλεγε γεγενῆσθαι. κυρίως—γάρ φησιν—νείφειν εἴρηται ἀπὸ τῆς τοῦ ὕδατος προφορᾶς καὶ νηφάλια θύειν εἴρηται, ὅταν καὶ τὸ ὕδωρ σπένδωσιν. εἰ μέν τοι ἐκπέπτωκεν ἀπ᾽ αὐτοῦ καὶ τὸ νιφὰς καὶ τὸ νιφετὸς διὰ τοῦ ι οὐ θαῦμα· καὶ γὰρ ἀπὸ τοῦ λείβω λιβάς, καὶ ἀπὸ τοῦ νείφω νιφάς, καὶ ἀπὸ τοῦ πείθω πιστός, καὶ ἀπὸ τοῦ λείφω συναλ〈ο〉ιφή. Ξέστης : διὰ τὸ ἀπεξεσμένον τοῦ εἴδους. [5]

154 ἢ καὶ τὸ ἀκριβὲς τοῦ μέτρου. Ξύριον : διὰ τὸ ξέειν ῥᾷον.

156 Ξύλον : διὰ τὸ ξέεσθαι καὶ λεαίνεσθαι. ἢ διὰ τὸ ξηρὰν ὕλην εἶναι. Ὄρνεα : διὰ τὸ τὰ ὄρη ναίειν ἤγουν οἰκεῖν.

158 Ὀψώνιον : διὰ τὸ ὄψον, ἤγουν βρῶμα, ὠνεῖσθαι. Ὅροι : διὰ τὸ δι᾽ αὐτῶν ὁρᾶν τὰ πράγματα.

160 Ὀλοκοτίνιν : διὰ τὸ τὸν ὅλον κότον ἐν αὐτῷ. Οὐρανός : εἴρηται διὰ τὸ ὁρᾶσθαι ἄνω.

161 ἢ ὅρασις ἄνω. Οἶκος : διὰ τὸ ὑπό τινος κοσμῆσθαι.

163 Ὄφις : ἐκ τοῦ φῆσαι, ἤγουν λαλῆσαι, τῇ Εὔᾳ. Ὀψάριον : ὄψον αἱρόμενον ἀπὸ ὕδατος.

165 Οἰκονόμος : ὁ τὸ οἰκεῖον νέμων ἑκάστῳ. Ὄρη : διὰ τὸ ὁρᾶσθαι μηκόθεν.

166 ἢ τοῦ ὁρᾶν τὰ ἐκ μηκόθεν δι᾽ αὐτῶν. Ὄνος : ἐκ τοῦ οὐ νοεῖν.

167 ἢ ὠνητόν. Οἶνος : παρὰ τὸ ὀνῶ τὸ σημαῖνον τὸ εὐφραίνω.

169 Ὀρφανός : παρὰ τὴν ὀρφνήν τὸ σημαῖνον τὸ σκότος. ἤγουν ὁ ἐσκοτισμένος. Παιδίον : διὰ τὸ παιδείας δέεσθαι.

171 Πατήρ : διὰ τὸ τοὺς παῖδας τηρεῖν. Πινάκιν : διὰ τὸ τῇ πείνῃ ὑπουργεῖν.

173 Πείνη : διὰ τὸν πόνον. ἡ πρόσσουσα τὴν γονήν. Πονηρία : διὰ τὸ τὸν πόνον εἰσάγειν καὶ μόχθον αὐτῷ τῷ κεκτημένῳ· διὸ ἡ Σοφία· ἐὰν κακὸς γέν ῃ , μόνος ἀντλήσεις κακ ά.

174 [Septuag. Prov. 9, 12]. Πίθηκος : ὅτι τὸ πᾶν ἠθικεύει.

176 Πηγή : διὰ τὸ ποτόν. Πήγανον : διὰ τὸ πήσσειν τὴν γονὴν ἤγουν τὸν γόνον.

178 Περιστερά : ὅτι στερρὰ ποιεῖται τὰ νοσσία ἑαυτῆς. ἢ διὰ τὸ περιστατικὸν τοῦ αἴρεσθαι τὰ νοσσία ἑαυτῆς. Πτωχός : διὰ τὸ πτῶμα ἐκ πλούτου ἔχειν.

180 Πένης : διὰ τὸν πόνον τῆς ζωῆς. Παλαιόν : διὰ τὸ ἐκ πάλαι, ἤγουν ἐκ χρόνου, εἶναι.

182 Πενθερός : ὁ τὸ πένθος αἴρων. Ποταμός : ὁ ἔχων ποτὸν καὶ ἄμμον.

184 Πρεσβύτης : ὁ πρεσβευτὴς ἢ ὁ περισσῶς βιώσας. Πόρτα : διὰ τὸν πόρον τηρεῖν.

186 Πόλις : διὰ τὸ ἐκ πολλῶν συνίστασθαι. Πέτρα : διὰ τὸ παίειν τρανῶς.

188 Πλίνθος : πήλινος θέσις· πηλὸς δὲ διὰ τὸ πάνυ λεαίνεσθαι, 〈ἤγουν〉 λεῖον. Πύργος : διὰ τὸ ὑπὲρ γῆν εἶναι, ἤγουν ἐπάνω φαίνεσθαι.

190

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πόλεμος : παρὰ τὸ τὰς πόλεις μειοῦν. Ῥῶσις : ὑγιεία, ἐκ τούτου ἀρρωστία κατὰ στέρησιν ὑγιείας, ἡ δύναμις καὶ τὸ ῥωμαλέον.

192 Ῥίζα : διὰ τὸ ῥᾷον ζῆν. Σελήνη : εἴρηται παρὰ τὸ σέλας ἀεὶ ἔχειν· ὅθεν καὶ ἐνιαυτὸς ὁ ἔνος ἀεὶ νεάζων.

193 οὕτως Ἡρακλείδης. Σωφροσύνη : διὰ τὸ σῶα φρονεῖν.

195 Σολοικισμός : σώου λόγου αἰκισμός. Σωτηρία : τὸ σῶον τηρηθῆναι.

196 [σῶον: τὸ σῶον τηρηθῆναι]. 〈σημεῖον : τὸ〉 σῶον μὴ ὄν, ἀλλ’ ὑπόμνημα.

198 Σῶμα : διὰ τὸ σῶον αἷμα. Σοφία : διὰ τὸ σῶα φῆν ἤγουν λαλεῖν.

200 Σελήνη : διὰ τὸ ἐν νυκτὶ φαίνειν· σέλας γὰρ οἱ παλαιοὶ τὸ φῶς ἐκάλεσαν. Στρουθίον : διὰ τὸ στερρῶς θέειν ἤγουν ὁρᾶν· ἢ διὰ τὸ τρέχειν τὸν ἀέρα.

202 Σχολαστικός : διὰ τὸ σχολάζειν τοῖς ἀστικοῖς ἢ τῷ δικαίῳ. Σχολεῖον : διὰ τὸ σχολάζειν τῇ διδαχῇ.

204 Σίκριτον : διὰ τὸ σείειν τὰς κρίσεις. Σπόγγος : διὰ τὸ σπουδῇ γομοῦσθαι.

206 Σύμβολον : διὰ τὸ συμβάλλεσθαι. Στράτα : διὰ τὸ ἱσταμένη ῥέειν.

208 Σίνιπι : παρὰ τὸ σίνεσθαι τοὺς ὦπας. Τραπεζίτης : διὰ τὸ τὴν τροπὴν ζητεῖν ἀεὶ καὶ οὐ τὸ ὀρθόν.

210 Τρίχες : διὰ τὸ τριχῇ χέεσθαι παρὲξ τῆς ὄψεως, ἔνθεν κἀκεῖθεν καὶ ὄπισθεν. Τράπεζα : διὰ τὸ ἀεὶ τρέπεσθαι, ἤγουν συστέλλεσθαι.

212 Τρίβιδιν : διὰ τὸ τρίβειν βίᾳ. Τρυγών : καθ’ ὃ τηρεῖ τὴν γονήν.

214 Ὑπόδημα : διὰ τὸ ὑποκάτω ὅλον δῆμα. Ὑμνῳδία : ὕμνος μετ’ ᾠδῆς.

216 Φίλημα : τὸ φιλοῦν καὶ τὸ φιλούμενον ἅμα. Φυτόν : διὰ τὸ φύειν.

217 τὸ ὂν ἤγουν τὸ ὑπάρχον. Φάραγξ : διὰ τὸ φέρεσθαι ὀξέως.

219 Φιλόσοφος : διὰ τὸ φιλεῖν τὴν σοφίαν. Χάρτης : διὰ τὸ τοὺς χαρακτῆρας 〈εἶναι ἐν αὐτῷ〉.

221 Χειμών : διὰ τὸ χέειν μονίμως ἐπὶ μῆνας ε ἢ ἕξ. Χρυσοχόος : διὰ τὸ τὸν χρυσὸν χωνεύειν καὶ χέειν.

223 Χόρτος : ὅτι ἐν τῇ χέρσῳ τείνεται. Χωρίον : διὰ τὸ ἐν τόπῳ εἶναι χωρητόν.

225 Χείμαρρος : διὰ τὸ χέεσθαι εὐμαρῶς, ἤγουν εὐκόλως, ἢ διὰ τὸ τὸν χειμῶνα ῥεῖν. Χοῖρος : διὰ τὸ τὴν χύσιν ἐρᾶν καὶ ῥυφᾶν.

227 Χελιδών : χείλη ἡδέα. ἢ διὰ τὸ τὰ χείλη δονεῖν ἤγουν σείειν. Ψαλμῳδία : ψαλμὸς μετ’ ᾠδῆς λεγόμενος.

229 Ψυχή : διὰ τὸ ἐμψύχειν καὶ ζωογονεῖν τὸν νεκρόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org